ἀλλ' ἐλάττω τὴν ζημίαν εἶναι τοῦ κέρδους αὐ- A
τοῖς, ἢ ὧν κήδονται. ποῖα μὲν οὖν δυνατὰ
φαίνεται, καὶ ποῖα ἀδύνατα, ἐν τοῖς ὕστερον
ῥηθήσεται· κοινὰ γὰρ τῶν μερῶν τῆς ῥητορι-
κῆς ταῦτα πάντων. Αὐτοὶ δ' οἴονται δυνα-
τοὶ εἶναι μάλιστα ἀζήμιοι ἀδικεῖν, οἱ εἰπεῖν
δυνάμενοι, καὶ οἱ πρακτικοὶ, καὶ οἱ ἔμπει-
ροι πολλῶν ἀγώνων. καὶ ἐὰν πολύφιλοι ὦσι. καὶ
ἐὰν πλούσιοι. καὶ μάλιστα μὲν, ἂν αὐτοὶ ὦ-
σιν ἐν τοῖς εἰρημένοις, οἴονται δύνασθαι. εἰ δὲ B
μὴ, κἂν ὑπάρχωσι τοιοῦτοι αὐτοῖς, φίλοι,
ἢ ὑπηρέται, ἢ κοινωνοί· διὰ γὰρ ταῦτα δύνανται
καὶ πράττειν, καὶ λανθάνειν, ἀδικουμένοις, ἢ τοῖς
καὶ μὴ δοῦναι δίκην. καὶ ἐὰν φίλοι ὦσι τοῖς κρι-
ταῖς· οἱ μὲν γὰρ φίλοι, ἀφύλακτοί τε πρὸς τὸ
ἀδικεῖσθαι, καὶ προσκαταλλάττονται, πρὶν
ἐπεξελθεῖν· οἱ δὲ κριταὶ χαρίζονται, οἷς ἂν
φίλοι ὦσι· καὶ ἢ ὅλως ἀφιᾶσιν, ἢ μικροῖς
ζημιοῦσι. λαθητικοὶ δέ εἰσιν, οἱ τ' ἐναντίοι C
τοῖς ἐγκλήμασιν· οἷον, ἀσθενὴς περὶ αἰκίας,
καὶ ὁ πένης, καὶ ὁ αἰσχρὸς περὶ μοιχείας. καὶ
τὰ λίαν ἐν φανερῷ καὶ ἐν ὀφθαλμοῖς· ἀφύ-
λακτα γὰρ, διὰ τὸ ὅλως μηδένα γὰρ ἂν οἴε-
σθαι, καὶ τὰ τηλικαῦτα, καὶ τὰ τοιαῦτα, ἃ
μηδὲ εἷς· ἀφύλακτα γὰρ καὶ ταῦτα· πάντες
τὰ εἰωθότα, ὥσπερ ἀρρωστήματα φυλάττον-
ται, καὶ τὰ ἀδικήματα· ὃ δὲ μηδείς πω ἠρρώ-
στησεν, οὐδεὶς εὐλαβεῖται. καὶ οἷς μηδεὶς
ἐχθρὸς, ἢ πολλοί· οἱ μὲν γὰρ, οἴονται λήσειν,
διὰ τὸ μὴ φυλάττεσθαι· οἱ δὲ, λανθάνουσί τε,
διὰ τὸ μὴ δοκεῖν ἂν ἐπιχειρῆσαι φυλαττομέ-
νοις· καὶ διὰ τὸ ἀπολογίαν ἔχειν, ὅτι οὐκ ἂν ἐ-
νεχείρησαν. καὶ οἷς ὑπάρχει κρύψις, ἢ τρόπος,
ἢ τόπος, ἢ διάθεσις εὔπορος. καὶ ὅσοις μὴ λα- E
θοῦσιν, ἔστι δίωσις δίκης, ἢ ἀναβολὴ χρόνιος,
ἢ διαφθοραὶ κριτῶν. καὶ οἷς, ἐὰν γένηται ζη-
μία, ἔστι δίωσις τῆς ἐκτίσεως, ἢ ἀναβολὴ χρό-
νιος, ἢ δι' ἀπορίαν μηδὲν ἕξει, ὅ, τι ἀπολέσῃ,
καὶ οἷς τὰ μὲν κέρδη φανερὰ, ἢ μεγάλα, ἢ
ἐγγύς· αἱ δὲ ζημίαι, ἢ μικραὶ ἢ ἀφανεῖς, ἢ
πόρρω. καὶ ᾧ μή ἐστι τιμωρία ἴση τῇ ὠφελείᾳ, F
οἷον δοκεῖ ἔχειν ἡ τυραννίς. καὶ ὅσοις, τὰ μὲν
ἀδικήματα, λήμματα· αἱ δὲ ζημίαι, ὀνείδη
μόνον· καὶ οἷς τοὐναντίον, τὰ μὲν ἀδικήματα
εἰς ἔπαινόν τινα, οἷον εἰ συνέβη ἅμα τιμωρή-
σασθαι ὑπὲρ πατρὸς, ἢ μητρὸς, ὥσπερ Ζήνωνι· αἱ
δὲ ζημίαι, ἢ χρήματα, ἢ φυγὴ, ἢ τοιοῦτόν
τι· ἀμφότεροι γὰρ ἀδικοῦσι καὶ ἀμφοτέρως ἔχοντες, πλὴν οὐχ οἱ αὐτοὶ, ἀλλ' οἱ ἐναντίοι τοῖς ἤθεσι.

pœnam, aut daturos quidem, sed minus
damnum esse, quàm lucrum sibi ipsis, aut
iis quorum curam habent. Ac quæ quidē
fieri posse videantur, & quę non posse, po-
sterius explicabitur. Communia enim par
tibus Rhetoricæ sunt hæc omnibus. Ipsi
verò arbitrantur se posse maximè sine dā-
no iniuria afficere, qui dicendo valent, &
agendo, & experientia multarum conten-
tionum, & si eis multi amici sint, &, si di-
uites, & maximè quidem si ipsi valeant in
iis, quæ dicta sunt, arbitrantur potentiam
se habere. Sin minus, si sint tales ipsis ami-
ci, aut ministri, aut socij, quia his freti pos-
sunt & agere, & latere, & non dare pœnā.
& si amici sint iis, qui iniuriam patiuntur,
aut iudicibus. Nam amici parū cauti sunt
ad iniuriam patiendam, & reconciliantur
prius quàm iudicium persequantur. Iudi-
ces verò gratificantur iis, quibus amici sint
& omnino absoluunt, aut paruis pœnis af-
ficiunt. Apti verò ad latendū sunt, & con-
trarij criminibus: vt debilis de verbera-
tione, & pauper, & deformis de adulterio.
Et quæ sunt nimis in aperto, & in oculis.
incauta enim sunt, quòd nemo illa existi-
met. Et tanta & talia, quę admiserit nemo.
Incauta enim etiam talia sunt. Nam om-
nes, vsitatos vt morbos, cauent, sic etiā in-
iurias. Quo autem morbo nondum labo-
rauerit, eum nemo reformidat. Et quibus
nemo est inimicus, aut multi. Illi enim pu
tant se latituros, quia non cauentur: hi ve
rò etiam latent, quia non videntur aggres
suri fuisse eos, qui cauent, & quia habent
defensionem, se non fuisse aggressuros. Et
quibus est occultatio, aut modus, aut lo-
cus, aut alienatio in promptu. Et quibus si
non lateant, est depulsio iudicij, aut dila-
tio temporis aut corruptiones iudicum.
Et quibus si fiat damnum, est depulsio so-
lutionis, aut dilatio temporis, aut si quis
propter inopiam nihil habiturus sit quod
amittat. Et quibus lucra quidem aperta
sunt, aut magna, aut vicina: damna verò
aut parua, aut obscura, aut longinqua. Et
cui non est pœna ęqualis vtilitati, id quod
videtur habere Tyrannis. Et quibus iniu-
riæ lucra sunt: damna verò probra solum.
Et quibus contrà iniuriæ quidem sunt in
laudem aliquam, vt si contingat, simul vin
dictam facere pro patre, aut matre, vt Ze-
noni: damna verò sunt, vt pecuniæ, aut e-
xilium, aut tale aliquid. Ambo enim iniu-
riam faciunt & vtroque modo se habētes:
non tamen iidem, sed contrarij moribus.

καὶ οἱ